**John the Baptist (Mt 3:1-12; Mk 1:2-8; Lk 3:1-18; Jn 1:19-28)**

One Gospel = Black
Mt + Mk = Orange
Mt + Lk = Green
Lk + Mk = Blue
All Synoptics = Red

| Matthew | Mark | Luke | John |
|---|---|---|---|
| 1 Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς | | 1 Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετρααρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετρααρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετρααρχοῦντος, 2 ἐπὶ ἀρχιερέως Ἅννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. 3 καὶ ἦλθεν εἰς ⸀πᾶσαν | 19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου ὅτε ⸀ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; 20 καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι ⸂Ἐγὼ οὐκ εἰμὶ⸃ ὁ χριστός. 21 καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; ⸂σὺ Ἠλίας εἶ⸃; καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη· Οὔ. 22 εἶπαν οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; 23 ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ |

| | | | |
|---|---|---|---|
| Ἰουδαίας 2 ⸀καὶ λέγων· Μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. 3 οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ⸀διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. | 2 ⸀Καθὼς γέγραπται ἐν ⸂τῷ Ἠσαΐᾳ τῷ προφήτῃ⸃· ⸀Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν ⸀σου· 3 φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, 4 ἐγένετο Ἰωάννης ⸀ὁ βαπτίζων ἐν τῇ ⸀ἐρήμῳ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. 5 καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται ⸂πάντες, καὶ ἐβαπτίζοντο⸃ ⸂ὑπ’ αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ⸃ ἐξομολογούμενοι τὰς ἁμαρτίας | περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, 4 ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ ⸀προφήτου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. 5 πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς ⸀εὐθείαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· 6 καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ.<br>7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ’ αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς | ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης. |

| | | | |
|---|---|---|---|
| [4] αὐτὸς δὲ ὁ<br>Ἰωάννης εἶχεν<br>τὸ ἔνδυμα αὐτοῦ<br>ἀπὸ τριχῶν<br>καμήλου καὶ<br>ζώνην<br>δερματίνην περὶ<br>τὴν ὀσφὺν αὐτοῦ,<br>ἡ δὲ τροφὴ ⸂ἦν<br>αὐτοῦ⸃ ἀκρίδες<br>καὶ μέλι ἄγριον.<br>[5] τότε<br>ἐξεπορεύετο<br>πρὸς αὐτὸν<br>Ἱεροσόλυμα καὶ<br>πᾶσα ἡ Ἰουδαία<br>καὶ πᾶσα ἡ<br>περίχωρος τοῦ<br>Ἰορδάνου, [6] καὶ<br>ἐβαπτίζοντο ἐν<br>τῷ Ἰορδάνῃ<br>⸀ποταμῷ ὑπʼ<br>αὐτοῦ<br>ἐξομολογούμενοι<br>τὰς ἁμαρτίας<br>αὐτῶν.<br>[7] Ἰδὼν δὲ<br>πολλοὺς τῶν<br>Φαρισαίων καὶ<br>Σαδδουκαίων<br>ἐρχομένους ἐπὶ<br>τὸ βάπτισμα<br>⸀αὐτοῦ εἶπεν<br>αὐτοῖς·<br>Γεννήματα<br>ἐχιδνῶν, τίς<br>ὑπέδειξεν ὑμῖν<br>φυγεῖν ἀπὸ τῆς<br>μελλούσης<br>ὀργῆς; [8] | αὐτῶν. [6] ⸂καὶ ἦν⸃<br>ὁ Ἰωάννης<br>ἐνδεδυμένος<br>τρίχας καμήλου<br>καὶ ζώνην<br>δερματίνην περὶ<br>τὴν ὀσφὺν αὐτοῦ,<br>καὶ ἔσθων<br>ἀκρίδας καὶ μέλι<br>ἄγριον. [7] καὶ<br>ἐκήρυσσεν<br>λέγων· Ἔρχεται<br>ὁ ἰσχυρότερός<br>μου ὀπίσω μου,<br>οὗ οὐκ εἰμὶ<br>ἱκανὸς κύψας<br>λῦσαι τὸν<br>ἱμάντα τῶν<br>ὑποδημάτων<br>αὐτοῦ· | ὑπέδειξεν ὑμῖν<br>φυγεῖν ἀπὸ τῆς<br>μελλούσης<br>ὀργῆς; [8]<br>ποιήσατε οὖν<br>καρποὺς ἀξίους<br>τῆς μετανοίας·<br>καὶ μὴ ἄρξησθε<br>λέγειν ἐν<br>ἑαυτοῖς·<br>Πατέρα ἔχομεν<br>τὸν Ἀβραάμ,<br>λέγω γὰρ ὑμῖν<br>ὅτι δύναται ὁ<br>θεὸς ἐκ τῶν<br>λίθων τούτων<br>ἐγεῖραι τέκνα τῷ<br>Ἀβραάμ. [9] ἤδη δὲ<br>καὶ ἡ ἀξίνη πρὸς<br>τὴν ῥίζαν τῶν<br>δένδρων κεῖται·<br>πᾶν οὖν<br>δένδρον μὴ<br>ποιοῦν καρπὸν<br>καλὸν<br>ἐκκόπτεται καὶ<br>εἰς πῦρ<br>βάλλεται.<br>[10] Καὶ<br>ἐπηρώτων αὐτὸν<br>οἱ ὄχλοι<br>λέγοντες· Τί οὖν<br>⸀ποιήσωμεν; [11]<br>ἀποκριθεὶς δὲ<br>⸀ἔλεγεν αὐτοῖς·<br>Ὁ ἔχων δύο<br>χιτῶνας<br>μεταδότω τῷ μὴ<br>ἔχοντι, καὶ ὁ<br>ἔχων βρώματα | |

| | | | |
|---|---|---|---|
| ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας 9 καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. 10 ἤδη ⸀δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.<br>11 Ἐγὼ μὲν ⸂ὑμᾶς βαπτίζω⸃ | 8 ⸀ἐγὼ ἐβάπτισα ⸀ὑμᾶς ὕδατι, | ὁμοίως ποιείτω. 12 ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι καὶ εἶπαν πρὸς αὐτόν· Διδάσκαλε, τί ⸀ποιήσωμεν; 13 ὁ δὲ εἶπεν πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. 14 ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· ⸂Τί ποιήσωμεν καὶ ἡμεῖς⸃; καὶ εἶπεν ⸀αὐτοῖς· Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. 15 Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ χριστός, 16 ἀπεκρίνατο ⸂λέγων πᾶσιν ὁ Ἰωάννης⸃· Ἐγὼ μὲν ὕδατι | 24 ⸀Καὶ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. 25 καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς ⸂οὐδὲ Ἠλίας οὐδὲ⸃ ὁ προφήτης; 26 ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν |

| | | | |
|---|---|---|---|
| ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ ˹καὶ πυρί˺· 12 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ⸀ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. [1] | αὐτὸς δὲ βαπτίσει ὑμᾶς ⸀ἐν πνεύματι ἁγίῳ. [2] | βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· 17 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ ⸀διακαθᾶραι τὴν ἅλωνα αὐτοῦ καὶ ⸀συναγαγεῖν τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. 18 Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν· [3] | ὕδατι· ⸀μέσος ὑμῶν ⸀ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, 27 ⸀ὁ ὀπίσω μου ⸀ἐρχόμενος, οὗ ˹οὐκ εἰμὶ˺ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. 28 ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν ⸀ὁ Ἰωάννης βαπτίζων. [4] |

That which is shared as the most important part of the character of John the Baptist is that he is the one who prepares the way for Israel's God and that John baptized with water, but Jesus baptizes with Spirit (see Jn 1.33).

[1] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Mt 3). Logos Bible Software.
[2] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Mk 1:2–8). Logos Bible Software.
[3] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Lk 3). Logos Bible Software.
[4] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Jn 1:19–28). Logos Bible Software.